www.tezaurliturgic.ro

Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)

Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)

Δρος Χαραλάμπους Μ. Μπούσια

Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΦΙΠΠΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ

ΔΗΜΗΤΡΙΟΝ ΤΟΝ ΜΥΡΟΒΛΥΤΗΝ

ΕΛΕΥΘΕΡΩΤΗΝ ΕΠΙΣΚΟΠΟΥ ΔΑΜΑΛΑ ΕΞ ΑΙΧΜΑΛΩΣΙΑΣ



Ἀθῆναι 2021

Ὁ ἔφιππος Ἅγιος Δημήτριος
διασώστης ἀπὸ τὴν αἰχμαλωσία τοῦ Ἐπισκόπου Δαμαλᾶ.

Στὴν εἰκόνα τοῦ Ἁγίου Δημητρίου, τοῦ «καβαλλάρη» καὶ στὰ νῶτά του, εἶναι ἔφιππος σὲ μικρὸ σχῆμα ἕνας ρασοφόρος. Εἶναι ὁ Ἐπίσκοπος Γαβριὴλ τοῦ Δαμαλᾶ, ποὺ τὸν ἔπιασαν αἰχμάλωτο ἐνῶ ψάρευε οἱ πειρατὲς τὸ 1603 καὶ τὸν πούλησαν στὸ Ἀλγέρι, σὲ ἕνα μεγαλοκτηματία μπέη, ποὺ τὸν πῆρε δοῦλο στὴν ὑπηρεσία του.

Ὁ Δεσπότης τοῦ Δαμαλᾶ κάποια ἡμέρα πῆγε γιὰ ψάρεμα μὲ τὸ καλαμίδι του. Στὴν ἀκτὴ ποὺ βρισκόταν ἔπιανε μόνο μικρὰ ψαράκια. Ἀπομακρυνόμενος ἀπὸ αὐτὴν γιὰ πιάσει μεγαλύτερα ἔπεσε στὰ δίχτια τῶν ἀλγερινῶν πειρατῶν, ποὺ τὸν ἔπιασαν αἰχμάλωτο. Στὴν Ἀλγερία τὸν πούλησαν ὡς σκλάβο σὲ ἕναν μεγαλοκτηματία, ὁ ὁποῖος τὸν ἔβαζε στὶς πιὸ σκληρὲς ἐργασίες, νὰ σκάβει, νὰ ὀργώνει, νὰ μεταφέρει ἀσήκωτα ἀντικείμενα, ξύλα, πέτρες, σίδερα. Οὔτε νὰ βράδυα τὸν ἄφηνε νὰ ξεκουρασθεῖ. Τὸν ἔβαζε νὰ ἁλέθει καλαμπόκι στὸν χειρόμυλο. Βλέποντας ἡ κακούργα γυναίκα του νὰἔχει τὸ ἕνα χέρι ἐλεύθερο ἀπὸ τὸν χειρόμυλο τοῦ ἔδινε μὲ τὸ ἄλλο νὰ λικνίζει τὸ μωρό του. Ἐκεῖνος ἀπογοητεύμενος αὐτομεμφόταν μὲ ἄκρα ταπείνωση καὶ ἔλεγε:

- Ἂχ Ἐπίσκοπε τοῦ Δαμαλᾶ. Δὲν εἶχες οὔτε νοῦ οὔτε μυαλά. Τὰ μικρὰ δὲν ἤθελες, τὰ μεγάλα γύρευες. Τώρα γύριζε χειρόμυλο, κούνα καὶ τὸν διάβολο.

Ἄκουσε τὰ λόγια αὐτὰ ἡ δόλια αὐτὴ γυναίκα εἶπε στὸν σύζυγό της, ὅτι ὁ δοῦλος εἶπε τὸ παιδί τους διάβολο, ἐνῶ ἐκεῖνος ἔτσι ὀνόμασε τὸ μαρτύριο τοῦ χειρόμυλου. Ἀποτέλεσμα ἦταν νὰ τὸν λιτσάρουν καὶ νὰ τὸν φυλακίσουν.

Στὴν φυλακὴ ὁ Ἐπίσκοπος σιδηροδέσμιος ἔκλαιε τὴν τύχη του καὶ παρακαλοῦσε θερμὰ τὸν Χριστό μας καὶ τοὺς Ἁγίους μας νὰ τοῦ συμπαρασταθοῦν καὶ νὰ τὸν ἐλευθερώσουν. Ἰδιαίτερα παρακαλοῦσε τὸν μυροβλύτη πολιοῦχο τῆς Θεσσαλονίκης Ἅγιο Δημήτριο, ὁ ὁποῖος βρέθηκε λυτρωτής του. Τὴν παραμονὴ τῆς γιορτῆς του τὸν εἶδε στὸν ὕπνο του ἔφιππο στὸ καφεκόκκινο ἄλογό του νὰ σπεύδει στὴν φυλακή του καὶ νὰ τοῦ λέει:

www.tezaurliturgic.ro

-Σήκω, καβαλλίψευσε πίσω μου, νὰ φύγουμε:

-Μά, εἶμαι δεμένος, εἶπε.

-Ὄχι, εἶσαι ἐλεύθερος, ἀνταπάντησε.

Κάνει νὰ σηκωθεῖ καὶ νοιώθει ἀπελευθερωμένος ἀπὸ τὰ δεσμά.

Ὅταν ξύπνησε τὸ πρωΐ, βρέθηκε ἐλεύθερος στὴν Θεσσαλονίκη, στὸν Ναὸ τοῦ Ἁγίου, ὅπου οἱ ἐπίτροποι παραξενεμένοι ρώτησαν καὶ ἔμαθαν τὸ θαυμαστὸ γεγονός. Ὁ Ἐπίσκοπος Γαβριὴλ δόξασε τὸν Θεὸ καὶ τὸν Ἅγιο Δημήτριο καὶ μπῆκε σὲ ἕνα καράβι, γιὰ νὰ πάει στὸν Πόρο καὶ ἀπὸ ἐκεῖ στὸν Δαμαλᾶ, στὸ ποίμνιό του, ὅπου τίμησε ἰδιαιτέρως τὸν ἐλευθερωτή του Ἅγιο Δημήτριο. Ἀπὸ τότε στὰ εἰκονίσματά του ζωγράφιζαν πίσω ἀπὸ τὸν ἔφιππο Ἅγιο Δημήτριο καὶ τὸν ρασοφορεμένο Δεσπότη.

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΦΙΠΠΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ

ΔΗΜΗΤΡΙΟΝ ΤΟΝ ΜΥΡΟΒΛΥΤΗΝ

ΕΛΕΥΘΕΡΩΤΗΝ ΕΠΙΣΚΟΠΟΥ ΔΑΜΑΛΑ ΕΞ ΑΙΧΜΑΛΩΣΙΑΣ

Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΚΣΤ΄ Ὀκτωβρίου.

Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια

Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ ἐπακούσας Δαμαλᾶ Ἐπισκόπου
φωνῆς δεήσεως, Δημήτριε μάκαρ,
ὃν πειραταὶ μετήνεγκον εἰς τὴν Ἀφρικήν,
εὐσθενές, αἰχμάλωτον καὶ ἀπελευθερώσας,
μυροβλύτα Ἅγιε, τοῦτον, ῥῦσαι δουλείας
δυσχερειῶν καὶ θλίψεων πολλῶν
τοὺς σὲ φωνοῦντας ἐν βίου στενώσεσι.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτέ, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν, οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανὼν, οὗ ἡ Ἀκροστιχίς·
" Δημήτριε, αἰχμαλώτων εἶ ἐλευθερωτής. Χ. "

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Δημήτριε Μάρτυς, τοῦ Δαμαλᾶ
ὁ ἐλευθερώσας
τὸν Ἐπίσκοπον ἐξ ἐχθρῶν
δουλείας, παθῶν τοὺς σοὺς ἱκέτας
χαμαιζηλίας ταχὺ ἐλευθέρωσον.

Ἡγίασας αἵματος ἐκροαῖς,
Δημήτριε Μάρτυς,
χθόνα νύμφης Θερμαϊκοῦ,
ἣν ἀπηλευθέρωσας δυνάμει
τῇ σοὶ δοθείσῃ θεόθεν, πολύαθλε.

Μὴ παύσῃ πρεσβεύων ὑπὲρ ἡμῶν,
Δημήτριε, πίστει
ὡς ταχὺν ἐλευθερωτὴν
πιστῶν, σὲ τιμώντων εὐσχημόνως
ἐκ τῆς ἐχθρῶν ἐπηρείας καὶ μήνιδος.

Θεοτοκίον.

Ἡ πάντων ἐν δίναις καταφυγή,
βοήθει, Παρθένε,
τοῖς τιμῶσί σε εὐλαβῶς,
καὶ σπεύδουσι, Κεχαριτωμένη,
σῇ ἀρωγῇ ἐν δειναῖς περιστάσεσι.

ὨΙδὴ γ΄. Οὐρανίας ἀψῖδος.

Τεῖχος καὶ προστασία
σὲ ἀληθῶς ἔγνωμεν
Θεσσαλονικεῖς ἐν κινδύνοις,
Μάρτυς Δημήτριε,
ἐν μάχαις τὸν κατ᾽ ἐχθρῶν
περιφερόμενον πλῆθος
εὐσεβούντων ἔφιππον
προασπιζόμενον.

Ῥῦσαι πάντας εὐχαῖς σου
μαρτυρικαῖς θλίψεων
καὶ αἰχμαλωσίας ἱκέτας
χάριτος θείας σου,
ὃ ἐκ δουλείας ταχὺ
ἐλευθερώσας τὸν πίστει
Δαμαλᾶ Ἐπίσκοπον
καταφυγόντα σοι.

Ἰσχυρόν σε προστάτην
καὶ λυτρωτὴν τάχιστον
ἔχομεν οἱ δεδουλωμένοι,

Μάρτυς Δημήτριε,
τῇ ἀπληστίᾳ, στερῤῥέ,
ὁ ἐξ αὐτῆς διασώσας
Δαμαλᾶ Ἐπίσκοπον,
αὐτομεμφόμενον.

Θεοτοκίον.

Εὐεργέτην τεκοῦσα
ἡμῶν ψυχῶν, Δέσποινα,
Κεχαριτωμένη Παρθένε,
κόσμου διάσωσμα,
δὸς οὐρανόθεν ἡμῖν
εὐεργεσίας σου πλοῦτον
Δημητρίου Μάρτυρος
θείαις ἐντεύξεσι.

Διάσωσον,
ὡς Δαμαλᾶ τὸν Ἐπίσκοπον ἐκ δουλείας,
τοὺς προφέροντας εὐλαβῶς σὴν κλῆσιν, Δημήτριε,
παθῶν ἐν δουλείᾳ κατακειμένους.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β΄. Πρεσβεία θερμή.

Ἐλευθερωτὰ Θεσσαλονίκης ἔφιππε,
καὶ τοῦ Δαμαλᾶ τοῦ Ἱεράρχου, Ἅγιε,
θαυμαστὲ Δημήτριε,
ἐλευθέρωσον πάντας ἱκέτας σου
τῆς ἀπληστίας πάθους καὶ ἐχθρῶν
μανίας ἰσχύϊ θεοσδότῳ σου.

ὨΙδὴ δ΄. Εἰσακήκοα, Κύριε.

Αἰχμαλώτων ἐκλύτρωσις
καὶ ἀπελυθέρωσις τῶν τιμώντων σε
ἐξ ἐχθρῶν μανίας πέφηνας,
μυροβλύτα Ἅγιε, Δημήτριε.

Ἴσθι πάντων ἐν θλίψεσιν
ἀντιλήπτωρ, Μάρτυς στερρέ, Δημήτριε,
Δαμαλᾶ ὁ τὸν Ἐπίσκοπον
ἐξ ἐχθρῶν δουλείας λυτρωσάμενος.

Χάριτί σου διάσωσον
ἐξ αἰχμαλωσίας παθῶν σοὺς πρόσφυγας,
ἐλευθερωτὰ Δημήτριε
τῆς Θεσσαλονίκης, χαριτόβρυτε.

Θεοτοκίον.

Μητροπάρθενε Δέσποινα,
Κεχαριτωμένη, τὴν σὴν ἀντίληψιν
ἐξαιτούμεθα οἱ μέλποντες
Δημητρίου χάριν τὴν ἀνύστακτον.

ὨΙδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἄριστε Χριστοῦ
στρατιῶτα, ὁ τῇ λόγχῃ σου
πρεσβειῶν συντρίβων ἔπαρσιν ἐχθρῶν,
διαφύλαττε ἡμᾶς αὐτῶν ἀπήμονας.

Λόγχευσον ἡμῶν
πάθη λόγχῃ σου, Δημήτριε,
ἐπιβούλους, ὡς ἐλόγχευσας ἐχθροὺς
τῆς λαμπρῶς Θεσσαλονίκης εὐφημούσης σε.

Ὡς τοῦ Δαμαλᾶ
Ἐπισκόπου ἀνυμνοῦντές σε
ἐκ δουλείας, Μάρτυς, ἐλευθερωτὴν
ἐκδεχόμεθα τὴν χάριν σου, Δημήτριε.

Θεοτοκίον.

Τεῖχος ἀῤῥαγὲς
προστασίας τῶν προσφύγων σου,
περιτείχισον ἡμᾶς σῇ ἀγωγῇ,
Δημητρίου Μυροβλύτου παρακλήσεσι.

ὨΙδὴ στ΄. Τὴν δέησιν.

Ὡς ἔσωσας τὸν αὐτομεμφόμενον
ἐκ δουλείας Δαμαλᾶ Ἱεράρχην
δι' ἀπληστίαν πεσόντα εἰς χεῖρας
ἐχθρῶν ἀπίστων, τρισμάκαρ Δημήτριε,
ἀπελευθέρωσον ἡμᾶς,
αἰχμαλώτους παθῶν, ἱκεσίαις σου.

Νοσήσαντας ἐκ τῆς ἐκζητήσεως
περιττῶν τῆς χάριτός σου προσφύγων
ταχὺ θεράπευσον, Θεσσαλονίκης
θεραπευτά, μυροβλύτα Δημήτριε,
τῆς ἀγαπήσεως Χριστοῦ
τῆς πτωχείας φαρμάκῳ ἱκέτας σου.

Ἐκλύτρωσαι τῆς δουλείας ἅπαντας
καταφεύγοντας τῇ σῇ προστασίᾳ
ὡς Δαμαλᾶ Ἱεράρχην, ὃν ξένως
ἐπὶ τοῦ πώλου τοῦ ἵππου σου ἔθηκας
καὶ ὃν μετήνεγκας καλῶς
εἰς τὴν πόλιν σοῦ τάφου, Δημήτριε.

Θεοτοκίον.

Ἱλέωσαι σὸν Υἱὸν τοῖς δούλοις σου
Μῆτερ Κεχαριτωμένη, τοῖς πίστει
νῦν Δημητρίου τιμῶσι τοὺς ἄθλους,
τοῦ Μυροβλύτου καὶ Μεγαλομάρτυρος,
ἐλευθερώσαντος ταχὺ
Δαμαλᾶ ἐκ δουλείας Ἐπίσκοπον.

Διάσωσον,
ὡς Δαμαλᾶ τὸν Ἐπίσκοπον ἐκ δουλείας,
τοὺς προφέροντας εὐλαβῶς σὴν κλῆσιν, Δημήτριε,
παθῶν ἐν δουλείᾳ κατακειμένους.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Μεγαλομάρτυς Κυρίου, Δημήτριε,
ὁ Δαμαλᾶ ἐκ δουλείας Ἐπίσκοπον
ἐλευθερώσας, ἡμᾶς ἐλευθέρωσον
τῆς ἀπληστίας τοῦ πάθους σῇ χάριτι
πρὸς μόνον τῶν ἀναγκαίων ἐκζήτησιν.

Προκείμενον. Ἦχος δ΄. Θαυμαστός, ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.
Στίχος. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον· Κατὰ Ἰωάννην (Κεφ. ιε΄ 17-27, ιστ΄ 1-2).
Ζήτει εἰς τὴν Λειτουργίαν τοῦ ἁγίου Γεωργίου τοῦ Τροπαιοφόρου.

Δόξα.

Ταῖς τοῦ Ἀθλοφόρου
πρεσβείαις, Ἐλεῆμον,
ἡμᾶς τῆς ἀπληστίας
ἐλευθέρωσον πάθους.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Στίχος. Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Μάρτυς γενναιότατε,
τῆς στρατιᾶς τοῦ Κυρίου
στρατιῶτα ἔνδοξε,
θαυμαστὲ Δημήτριε,
ὁ Ἐπίσκοπον
ὄντα αἰχμάλωτον
ἀπελευθερώσας
τῇ μαρτυρικῇ σου χάριτι,
ἀπελευθέρωσον
ἀπληστίας πάθους τοὺς σπεύδοντας
σῇ χάριτι καὶ ἴθυνον
ἀναγκαίων πρὸς ἀποζήτησιν
μόνον, Μυροβλύτα,
τοὺς θέλοντας βιῶσαι ταπεινῶς

Χριστοῦ πτωχείαν, τὴν σῴζουσαν
ἀληθῶς, μακάριε.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου.....

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Εὐσταλὲς στρατιῶτα
στρατιᾶς τοῦ Ὑψίστου,
σεπτὲ Δημήτριε,
τοὺς ἐπικαλομένους
τὸ θεῖον ὄνομά σου
ἐξ ἐχθρῶν ἐλευθέρωσον
δουλείας ὡς Δαμαλᾶ
ποτὲ τὸν ἀρχιθύτην.

Λῦσον τῶν ἱκετῶν σου
τὰ δεσμὰ τῆς δουλείας,
σεμνὲ Δημήτριε,
μετὰ τῆς ἁμαρτίας,
ὁ ἐξ αἰχμαλωσίας
Δαμαλᾶ λυτρωσάμενος
τὸν Ἱεράρχην, θερμῶς
καθικετεύσαντά σε.

Ἐλευθέρωσον πάντας
ἐκ δεινῆς ἁπληστίας
τοὺς σοὶ προσφεύγοντας,
Δημήτριε ἀλκίφρον,
ὡς τὴν Θεσσαλονίκην
ἐξ ἐχθρῶν, Μάρτυς ἄριστε,
ἧσπερ ἐλευθερωτὴς
καὶ πολιοῦχος πέλεις.

Θεοτοκίον.

Ὑπερύμνητε Μῆτερ,
δυσθυμίας καὶ βλάβης
ἀπελευθέρωσον
ἡμᾶς τοῦ Δημητρίου
εὐχαῖς, τοῦ Μυροβλύτου,
σὲ λαμπρῶς μακαρίζοντας
ὡς ἐκ φθορᾶς τῶν βροτῶν
λυτρώσεως αἰτίαν.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Θεσσαλονίκης
ἐλευθερίας ἡγῆτορ
καὶ ταχὺς λυτρωτὴς αἰχμαλώτων
πέλεις, Μυροβλύτα
Δημήτριε, ἀλκίφρον.

Ἐκ τῆς δουλείας
σὸν ὁ ἁρπάσας ἱκέτην,
Δαμαλᾶ Ἱεράρχην, συντήρει
ἐλευθέρους, Μάρτυς,
τοὺς σὲ ὑμνολογοῦντας.

Ῥῦσαι μανίας
τοῦ πονηροῦ σοὺς ἱκέτας,
Γαβριὴλ ὡς ἐῤῥύσω δουλείας
Δαμαλᾶ ἐπόπτην,
Δημήτριε παμμάκαρ.

Θεοτοκίον.

Ὡς τῶν μερόπων
χαρᾶς αἰτίαν σὲ πάντες
μεγαλύνομεν, Θεογεννῆτορ,
Κεχαριτωμένη,
τοῦ Δημητρίου σθένος.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Τοὺς σοὺς ἱκέτας τήρει
ἀσινεῖς ἐχθίστου
ἐπιβουλῆς, Μυροβλύτα Δημήτριε,
ὁ Γαβριὴλ τῆς δουλείας ἐχθρῶν ῥυσάμενος.

Ἡ χάρις σου ἐν δίναις
σπεύδει βοηθῆσαι
τοῖς σοῖς ἱκέταις, ἀλκίφρον Δημήτριε,
ὡς Γαβριήλ, ἐκ δουλείας ὃν ἠλευθέρωσας.

Σωτὴρ τοῦ Ἐπισκόπου
Δαμαλᾶ, στεῤῥόφρον,

τὸν ἐν δουλείᾳ παθῶν ἐλευθέρωσον
τῆς χάριτός σου ἱκέτην θερμόν, Δημήτριε.

Θεοτοκίον.

Χριστοῦ μὴ διαλείπῃς,
Κεχαριτωμένη,
ὑπὲρ ἡμῶν δεομένη, Μητρόθεε,
τῶν ὑμνητῶν Δημητρίου Μεγαλομάρτυρος.

Ἄξιόν ἐστι**....καὶ τὰ παρόντα Μεγαλυνάρια.**

Ὡς ἀπηλευθέρωσας θαυμαστῶς
ἐκ δεινῆς δουλείας
τὸν Ἐπίσκοπον Δαμαλᾶ,
σὲ παρακαλοῦντα,
ἡμᾶς δεδουλωμένους
τῇ ἁμαρτίᾳ, Μάρτυς,
σῶσον, Δημήτριε.

Λόγχῃ τὴν πλευρά σου, Μάρτυς, τρωθεὶς
καὶ ταῖς σαῖς ῥανίσι
τῶν αἱμάτων πορφυρωθείς,
μυροχεῦμον, θεῖε
Δημήτριε, ἐπώφθης
ἀδάμαστος ὁπλίτης
Κτίστου τῆς πίστεως.

Χαίρει προστασίᾳ σου ἀκλινεῖ
ἡ Θεσσαλονίκη,
ἀντιλήπτωρ ᾗς καὶ φρουρὸς
ἄγρυπνος ὑπάρχεις,
Δημήτριε στεῤῥόφρον,
τῆς πίστεως Κυρίου
Μάρτυς μεγάλαθλε.

Χαίροις, διασῶστα τοῦ Δαμαλᾶ
ἐξ αἰχμαλωσίας
Ἀρχιποίμενος Γαβριήλ,
χαίροις, Μυροβλύτα
Δημήτριε, ὁ ῥύστης
τῶν ἐπικαλουμένων
σὲ πάσης θλίψεως.

Σὲ Χριστὸς ἐδόξασε θαυμαστῶς
τῇ μυροβλυσίᾳ
θείου τάφου σου, ἀθλητὰ
τοῦ Χριστοῦ ἀνδρεῖε,
Δημήτριε, καὶ ῥύστην
ἐν τοῖς κινδύνοις πάντων
ἔδειξε πρόμαχον.

Γαβριήλ, Ἐπόπτην τοῦ Δαμαλᾶ
ἐξ αἰχμαλωσίας
ἐπὶ νώτου μετενεγκὼν
ἵππου σου εἰς πόλιν
τῶν Θεσσαλονικέων,
Δημήτριε, παθῶν με
ἀπελευθέρωσον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον. Ἦχος γ΄.

Μέγαν εὗρατο ἐν τοῖς κινδύνοις
σὲ ὑπέρμαχον ἡ οἰκουμένη,
Ἀθλοφόρε, τὰ ἔθνη τροπούμενον.
Ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν
ἐν τῷ σταδίῳ θαῤῥύνας τὸν Νέστορα·
οὕτως, Ἅγιε Μεγαλομάρτυς Δημήτριε,
Χριστόν, τὸν Θεόν, ἱκέτευε,
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Εὐσεβῶν διασῶστα, στεῤῥὲ Δημήτριε,
ἐπὶ τῶν νώτων σοῦ ἵππου
τοῦ Δαμαλᾶ, Γαβριήλ,
τὸν Ἐπίσκοπον, αἰχμάλωτον ὑπάρχοντα,
ἀπηλευθέρωσας ταχὺ
θαυμαστῶς μετενεγκὼν

εἰς πόλιν Θεσσαλονίκης,
ὁ ἐπακούων τῶν πίστει
καταφευγόντων τῇ σῇ χάριτι.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·

Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.

Μάρτυς, ταπεινὸν τοῦ Δαμαλᾶ,
τὸν αὐτομεμφόμενον, μάκαρ,
ἀφρόνως ὡς ζητητὴν
τῶν πολλῶν, Ἐπίσκοπον,
στερῥὲ Δημήτριε,
τῆς δουλείας ῥυσάμενος
καὶ Θεσσαλονίκης
φέρων εἰς τὸν Οἶκόν σου
αὐτόν, ὢ θαύματος
ξένου, ἐλευθέρωσον πάντας
τῆς παθῶν δουλείας καὶ σῶσον
τὰς ψυχὰς τῶν ἐπικαλουμένων σε.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δίστιχον.

Δημήτριε, ταχέως ἐλευθέρωσον
παθῶν τὸν προσπίπτοντά σοι Χαραλάμπη.

ΤΕΛΟΣ

ΚΑΙ ΔΟΞΑ

ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ

ΘΕΩ ΗΜΩΝ

Ἀρίθμ. Καταλ. Π 862 / 20 – 5 - 21

www.tezaurliturgic.ro

Εὔχου, Δημήτριε, μυροβλύτα μάρτυς,
ὑπὲρ ὑγιείας Δημητρίου, Μαρίας,
Μιχαήλ, Ἀνδρέου,
συζύγων καὶ τέκνων.